Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontificis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 292



tes, ac otio ad finem usque dediti, ab iis detrimentum capiunt, intereuntque. Atque hoc significans Dominus, filio, qui reversus erat, mandavit dari calceamenta pro pedibus, cum stola, & anulo, ut audacter atque intrepide caput calcaret serpentis. Similem vero dicit esse loco spinis referto præsentem vitam, in qua spinarum instar germinant peccata: loco autem puro supernam Hierusalem comparat, quæ est civitas Regis magni, ubi exulat tristitia, dolor, & gemitus. Qua utinam perfrui nobis omnibus liceat, gratia & benignitate Domini nostri Jesu Christi. Amen.

Luc. 15.
Luc. 16.

## EJUSDEM SANCTI PATRIS EPHRAEM SYRI

## BEATITUDINES ALIÆ.

### CAPITA XX.

I.

Beatus, qui præsentem hanc vitam odit ac deserit, & in solo Deo meditatio vitæ suæ est.

II.

Beatus, qui odit ac detestatur pessimum peccatum, Deumque solum bonum atque hominum amatorem diligit.

III.

Beatus, qui in terra est tamquam Angelus cœlestis, & imitator factus Seraphim, castas assidue cogitationes habet.

IV.

Beatus, qui castus est Deo, & sanctus ac purus a cunctis immunditiis, cogitationibusque, ac operibus improbis.

V.

Beatus, qui totus in Domino est liber a cunctis hujus vanæ vitæ rebus.

Bea-

A μισοπονίᾳ εἰς τέλος ἑαυτοὺς ἐκδεδωκότες, ὑπ' αὐτῶν κατεφθάρησαν. τοῦτο δὲ σημαίνων ὁ Κύριος, προσέταξε δοθῆναι τῷ ἐπιστρέψαντι υἱῷ ὑποδήματα τοῖς ποσὶ μετὰ τὴν στολὴν καὶ τὸ δακτύλιον, ἵνα θαρσαλέως καὶ ἀφόβως καταπατήσῃ τὴν κεφαλὴν τοῦ Ὄφεως. παρεικάζει δὲ τῷ ἀκανθώδει τόπῳ τὸν παρόντα βίον, ἐν ᾧ αἱ ἁμαρτίαι, δίκην ἀκανθῶν, ἀναφύουσι· τῷ δὲ καθαρῷ τόπῳ, τὴν
B ἄνω Ἱερουσαλὴμ, ἥτις ἐστὶ τοῦ βασιλέως τοῦ μεγάλου, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ

## ΜΑΚΑΡΙΣΜΟΙ ΕΤΕΡΟΙ.

C

### ΚΕΦΑΛΑΙΑ Κ.

Α.

Μακάριος ὃς μισήσας κατέλιπε τὸν βίον τοῦτον ἀνθρώπινον, καὶ σὺν Θεῷ μονωτάτῳ ἡ μελέτη τῆς ζωῆς αὐτοῦ ἐγένετο.

Β.

D

Μακάριος ὃς μισήσας βδελύσσεται τὴν κακίστην ἁμαρτίαν, Θεὸν μόνον ἀγαπήσας τὸν ἀγαθὸν καὶ φιλάνθρωπον.

Γ.

E Μακάριος ὃς γέγονεν ἐπὶ τῆς γῆς, ὡς ἄγγελος οὐράνιος, καὶ μιμητὴς τῶν Σεραφὶμ, ἁγνοὺς ἔχων καθ' ἑκάστην τοὺς λογισμούς.

Δ.

Μακάριος ὃς γέγονεν ἁγνὸς Θεῷ, καὶ ἅγιος καὶ καθαρὸς ἀπὸ πάντων τῶν μιασμῶν, καὶ λογισμῶν, καὶ πράξεων τῶν πονηρῶν.

F

Ε.

Μακάριος ὃς γέγονεν ὅλος αὐτὸς ἐλεύθερος ἐν Κυρίῳ ἀπὸ πάντων τῶν πραγμάτων τοῦ βίου τούτου ματαίου.

Μα-

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0540
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg